Τί οὖν; οὐχὶ πολλὰς τὰ πράγματα καὶ τοῖς ἐπιεικῶς
ἔχειν δοκοῦσι καὶ πράως φέρει προφάσεις ἀντιλογιῶν καὶ B
διαφορῶν; καὶ μάλα· ἀλλὰ κἀκεῖ φυλακτέον, ὅπως τὰ
πράγματα μάχηται καθ᾽ αὑτά, μηδὲν ἐκ φιλονικίας μηδ᾽
ὀργῆς πάθος οἷον ἄγκιστρον προσθέντας ἀλλ᾽ ὥσπερ ἐπὶ
ζυγοῦ τοῦ δικαίου τὴν ῥοπὴν κοινῶς ἀποθεωροῦντας καὶ
τάχιστα ταῖς κρίσεσι καὶ ταῖς διαίταις τὴν ἀμφιλογίαν
παραδιδόντας ἀποκαθῆραι, πρὶν ἐνδῦσαν ὥσπερ βαφὴν ἢ
κηλῖδα δευσοποιὸν γενέσθαι καὶ δυσέκπλυτον· εἶτα μιμεῖ-
σθαι τοὺς Πυθαγορικούς, οἳ γένει μηθὲν προσήκοντες ἀλλὰ
κοινοῦ λόγου μετέχοντες, εἴ ποτε προαχθεῖεν εἰς λοιδορίαν C
ὑπ᾽ ὀργῆς, πρὶν ἢ τὸν ἥλιον δῦναι τὰς δεξιὰς ἐμβαλόντες
ἀλλήλοις καὶ ἀσπασάμενοι διελύοντο. καθάπερ γὰρ ἐπὶ
βουβῶνι πυρετοῦ γενομένου δεινὸν οὐθέν ἐστιν, ἂν δὲ
παυσαμένου παραμένῃ, νόσος εἶναι δοκεῖ καὶ βαθυτέραν
ἔχειν ἀρχήν, οὕτως ἀδελφῶν ἡ μετὰ τὸ πρᾶγμα παυομένη
διαφορὰ τοῦ πράγματός ἐστι, τῆς δ᾽ ἐπιμενούσης πρόφασις
ἦν τὸ πρᾶγμα μοχθηράν τινα καὶ ὕπουλον αἰτίαν ἔχον.

18. Ἄξιον δὲ πυθέσθαι βαρβάρων ἀδελφῶν διαδικα-
σίαν, οὐ περὶ γηδίου μερίδος οὐδ᾽ ἐπ᾽ ἀνδραπόδοις ἢ προ-
βατίοις γενομένην ἀλλὰ περὶ τῆς Περσῶν ἡγεμονίας. D
Δαρείου γὰρ ἀποθανόντος οἱ μὲν ἠξίουν Ἀριαμένην βασι-
λεύειν, πρεσβύτατον ὄντα τῆς γενεᾶς, οἱ δὲ Ξέρξην,
Ἀτόσσης τε μητρὸς ὄντα τῆς Κύρου θυγατρὸς ἔκ τε Δα-
ρείου βασιλεύοντος ἤδη γεγεννημένον. Ἀριαμένης μὲν οὖν
κατέβαινεν ἐκ Μήδων οὐ πολεμικῶς ἀλλ᾽ ἐπὶ δίκην
ἡσυχαῖος, Ξέρξης δὲ παρὼν ἔπραττεν ἅπερ ἦν βασιλεῖ